ἀλλὰ καὶ λόγον ἀπαιτοῦσιν, οἶμαι, παρὰ τῶν μεμυκότων χειλῶν, καὶ ὑπόθεσιν θρήνου ταυτὶ ποιοῦνται. κεῖται δὲ εὐπρεπῶς ἐσταλμένος, τὼ χεῖρε ἔχων ἐπὶ τοῦ στήθους, ἀλλήλαιν ἐφηρμοσμένω. καὶ ὁ ἐπικεκυφὼς αὐταῖς οὗτος προσπτυξόμενος, καὶ ὁ παρὰ τοῖς ποσὶν ἕτερος, σχέσιν τινὰ ἐνδείκνυται, δι' ἣν οὐδὲ καθεκτῶς ἔχειν. ἔνιοι δὲ καὶ τὰς τρίχας τίλλουσιν, ἐπιλαθόμενοι τοῦ φιλοσοφεῖν ἐν τῷ πάθει. καὶ ὁ θυμια-

1. ἀλλὰ καὶ λόγον ἀπαιτοῦσιν. Cic. de Or. III, 2: illa tamquam cycnea fuit L. Crassi oratio, quam quasi expectantes post ejus interitum veniebamus in curiam.

2. μεμυκότων χειλῶν. Im. I, 31. p. 49, 28 (809): καρύοις — ὧν τὰ μὲν παρατέτριπται τοῦ ἐλύτρου, τὰ δὲ ἔγκειται μεμυκότα, ubi fortasse pro παρατέτριπται legi debet παρατέτραπται. cf. Ael. H. A. I, 11: ἕρμα ἑαυταῖς ἐπιτεχνῶνται πρὸς τὸν ἐμπίπτοντα ἄνεμον — ἵνα μὴ παρατρέψῃ τῆς ὁδοῦ αὐτάς.

ib. ὑπόθεσιν θρ. ταυτὶ ποιοῦνται. cf. supra pag. 144, 2. ᾠδὴν ποιεῖσθαι τὴν συμφοράν ibique notata.

4. ἐφηρμοσμένω. Im. I, 2. p. 7, 17 (766): ἀφῄρηται αὐτοῖς τὸ ἱλαρὸν ὑπὸ τοῦ ταῖς κεφαλαῖς ἐφαρμόττεσθαι (Par. 2956 ἐναρμόττεσθαι).

5. ἐπικεκυφώς. cf. Jacobs ad Im. p. 376.

7. δι' ἣν — καθεκτῶς ἔχειν. Similiter Im. II, 6. p. 61, 30 (818): τὰ γὰρ οὕτως ἐκπληκτικὰ οὐ συγχωρεῖ τοῖς θεαταῖς ἐν τῷ καθεκτῷ εἶναι.

8. ἐπιλαθόμενοι τοῦ φιλοσοφεῖν. cf. Im. II, 3. p. 57, 10 (814): εἰ μὲν ἐπιλαθοίμεθα τῶν ἵππων, οἷον Ναΐδες, adhibito rariore composito, pro ἐκλαθοίμεθα. De v. φιλοσοφῶ significatu vid. Meineke ad Menandr. f. 85. et nostra ad V. S. 67, 19 (561).

τήριον οὗτος ἀνάπτων καὶ ὁ τὴν λαμπάδα τῇ λαιᾷ κατέχων, παρασκευὴ ταῦτα ἐπὶ τὴν ἐκφοράν. ἀλλὰ γὰρ ἔτι κήδονται τῶν ὑπολειφθέντων καὶ ἐκδέχονται προσιόντας. ὁ δὲ τρίπους ἐκεινοσὶ βάκηλος ὁ τυφλὸς, ὑπόθεσις ἂν ἐγεγόνει δευτέρου θρήνου καταπεσὼν, εἰ μὴ ὁ ἀπεναντίας ἠϋγένειος φθάσας, ἐλάβετο τῆς χειρός. ὁρᾷς γέ τοι τοῦτον, ὡς μονονοὺ τὴν ψυχὴν ἀπεστάλαξεν, ὑπό τε τοῦ γήρως καὶ τῆς νόσου συγκεκαμμένος καὶ πρός γε ἔτι τῇ μηλωτῇ βαρυνόμενος. ἀλλὰ τούτῳ μὲν ἤρκεσεν ὁ δεξάμενος γέρων ἀντὶ ποδός. ἕτερον δὲ ὁρᾷς, οἶμαι, τὸν τροχαλὸν ἐκεῖνον φημὶ, τὸν ἐπὶ τοῦ ὄρους, ἄρτι τὸν οὐδὸν ὑπερβάντα, τετράποδος βάσιν ὀρεστέρου τιθέμενον, τραγικῶς εἰπεῖν. οὕτω τι πάντα ἦν ἐλάττω τῆς

ib. ἐν τῷ πάθει. cf. V. S. 63, 28 (556).

ib. θυμιατήριον. Vid. Epist. ad Hebr. IX, 4. Totius loci habitus, ut Im. II, 2. p. 54, 24 (811): νεβροὶ καὶ λαγὼς ταῦτα, θηράματα τοῦ νῦν Ἀχιλλέως. Rectius interpungit hic Monac. 242 post λαγώς. Vulgarem distinctionem habet Pal. 341. vid. et 88, 8.

5. βάκηλος. Est h. l. caducus.

7. ἠϋγένειος. vid. Hom. Od. δ. 456.

8. ἀπεστάλαξεν. Sic Eur. Andr. 1047. ἐστάλαξεν τὸν ἀΐδα φόνον.

9. συγκεκαμμένος. Paul. ad Rom. XI, 10. ex Ps. LXIX, 24: τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. — ὑπὸ τοῦ γήρως ut V. S. 14, 29 (494).

12. τὸν τροχαλόν. Hesiod. Op. et D. 520: τροχαλὸν δὲ γέροντα τίθησιν.

14. τετράποδος — τιθέμενον. Respicit Eurip. Hecub. 1058.

15. τραγικῶς εἰπεῖν, ut tragici verbis utar.

τῶν γενναίων σπουδῆς. ὁ δὲ τὼ χεῖρε συμβεβληκὼς οὗτος, ἐξεστηκότι ἔοικε καὶ πρὸς θεωρίᾳ τινὶ τὸν νοῦν ἔχοντι. ὅθεν αὐτὸν ὁ παρεστὼς διυπνίζει καὶ τῶν παρόντων αἰσθέσθαι ποιεῖ.

4.

Χάριεν μὲν καὶ ἀγωνιζομένους ἰδεῖν τουτουσὶ τοὺς ὁπλίτας, καὶ ἐν αὐτῷ τῷ πίπτειν νικῶντας. ὁ γὰρ τῆς μάχης τρόπος, οὐ ξυστάδην, οὐδ' ἐκ τοῦ ἴσου πρὸς τοὺς ἐχθρούς. ἀλλ' οἱ μὲν, ἐν ἀέρι καὶ οἷον ἐξ ὑπερδεξίων οἱ ἀθρόοι πρὸς ἕνα τοῦτον, καὶ μηχαναῖς ἁπάσαις ἐμβάλλουσιν. οἵδ' οὐδὲν δεόμενοι τοῦ ἐκείνων ὕψους, ἴσασι γὰρ τὸ τῆς φύσεως ταπεινὸν, ἔτι μᾶλλον ὑποβάντες

1. τὼ χεῖρε συμβεβληκώς. V. A. IV, 28, 168. lege ex Parisinis: ὁ γὰρ Μίλων ἑστάναι μὲν ἐπὶ δίσκου δοκεῖ τὼ πόδε ἄμφω συμβεβληκώς, vulgo est συμβεβηκώς.

2. πρὸς θεωρίᾳ. Vide V. S. 84, 28 (582): θεώρημα — ἠσχόλει, γνώμη δὲ θεωροῦσά τι μὴ ἀποκρεμαννύσθω οὐ ζητεῖ.

6. ἐν αὐτῷ τῷ πίπτειν νικῶντας. Pancratiastarum more, de quibus ait Philostr. Im. II, 6. p. 62, 10: περιγενέσθαι χρὴ οἷον πίπτοντα. cf. quae supra p. 74 sq. exposui.

7. οὐ ξυστάδην. cf. Herodian. VI, 7. et VII, 12.

8. ἐχθροί sunt τὰ πονηρίας πνεύματα.

9. ἐξ ὑπερδεξίων. Plut. Num. c. 20: ἐγκρατῆ καὶ ὑπερδέξιον τῆς κακίας τὴν ἀρετὴν καταστῆσαι.

10. ἐμβάλλουσιν. Ph. Jun. p. 116, 19: ὡς ἐς ἐμβολὴν ἵεται.

12. ὑποβάντες h. e. succedentes ad hostem.

εὐτέχνως προσαράττουσι κάτωθεν ἄνω τοὺς ἀντιπάλους. ὁ δὲ ἡδὺς οὑτοσὶ ζωγράφος, αἵματα μὲν ἐκεῖνα χεόμενα καὶ πυρὰ προσαγόμενα, καὶ τοὺς ἀγωνιστὰς στρεβλουμένους ἑτέροις παρίησι γράφειν. ἔχουσι γάρ τι καὶ σκυθρωπὸν, ὡς αὐτόθεν ἰδέσθαι. αὐτὸς δὲ, ὅλον ἀποφαίνει τὸν πίνακα χαρίτων μεστόν. κάθηνται μὲν αὐτῷ οἱ γενναῖοι, καθάπερ ἀρτίως ἐκ παρατάξεως ἀναπεπνευκότες, ἱδρῷ ἀποψύχοντες, ποιητὴς ἂν ἔφη. τὸ δὲ ἀνδρεῖον οὐδ᾽ ὡς αὐτοὺς ἐπιλείπει. τοῖς

1. Malim ἐντέχνως.

2. αἵματα. Usus sum hoc loco ad tuendam G. Herm. correctionem S. Oed. R. 1279. μέλας ὄμβρος χαλάζης αἱμάτων ἐτέγγετο.

4. στρεβλουμένους. cf. Im. I, 6. p. 12, 15 (771): στρεβλώσας ἕνα τῶν δακτύλων, ib. II, 6. p. 62, 13 (819): τὴν χεῖρα στρεβλοῦσι, et quae ad Gymn. notavimus p. 109.

ib. ἑτέροις παρίησι γράφειν. Ita Im. II, 33. p. 103, 19 (859): ὁ δ᾽ οὐ παρήσει ἑτέρῳ δεῖξαι τὸ ἱερεῖον.

5. αὐτόθεν. ut per se constat.

6. ὅλον ἀποφαίνει τ. π. χ. μεστόν. V. A. II, 5, 54. scribe ex optimis libris: αἱ γὰρ τοιαίδε περιωπαὶ γλαυκότερον μέντοι τὸν οὐρανὸν ἀποφαίνουσι (pro vulg. ἀναφαίνουσι).

7. κάθηνται μὲν αὐτῷ. Dativus ethicus, quem dicunt, hic est, ut V. S. 22, 15 (505).

8. ἀναπεπνευκότες. Respicit fortasse Iliad. λ. 801. Quod statim legitur ἱδρῷ ἀποψύχοντες ductum ex Iliad. λ. 621.

10. οὐδ᾽ ὡς αὐτοὺς ἐπιλείπει. Succurrit hic locus multum tentatus Eur. Alcest. 71: κοὔθ᾽ ἡ παρ᾽ ἡμῖν σοι γενήσεται χάρις, δράσεις θ᾽ ὁμοίως ταῦτ᾽ ἀπεχθή-

τε προσώποις ἐπιφαινόμενον, καὶ τῇ ὅλῃ σκευῇ καὶ τοῖς σχήμασι. κόρυθες μὲν οὖν καὶ κνημίδες, ἔτι δὲ ἀσπίδες, καὶ εἴτι βαρὺ τῶν ὅπλων, ἀποτέθεινται τῇ γραφῇ. θώρακας δὲ ἀμπίσχονται. καὶ θοιμάτιον ἑκάτερος ἀνῆπται, διῆκον ὡς ἔτυχε, καὶ τῷ μέν, ἡ λαιὰ προτείνει τὸ τόξον ἐντεταμένον μέσου μὲν ἐχομένη, προσαναπαύουσα δὲ ἑνὶ τῷ πρὸς αὐτῇ γόνατι. τὸ δόρυ δὲ τῇ ἑτέρᾳ κατέχων διαπείρει μάλα γενναίως τὸ πρὸς τοῖς ποσὶ κείμενον τοῦτο θηρίον. διφ-

σει τ' ἐμοί, in quo recte nuper intellexit Firnhaber (Zeitschr. f. Alterth. 1840. p. 152 sqq.) negativam particulam desiderari, sed quod reposuit δράσεις θ' ὅμοι' οὐ ταῦτα propter malam negativae collocationem et ambiguitatem adverbii ὅμοι' tolerari nequit. Egò suspicor poetam dedisse δράσεις τε μηδ' ὡς ταῦτα, vel, si offendat quis in μηδὲ — δράσεις τ' ἔμ' οὐδ' ὡς τ. ἀπεχθήσει τέ μοι. — ἐπιλείπει. Restitue verbum V. A. VI, 37, 274. ἐπιλιπεῖν αὐτὰ ἀποκλυσθέντα ex omnibus libris. Edd. ἀπολιπεῖν. De constructione vid. Jacobs ad Aelian. H. A. VIII, 17.

2. κνημίδες. scr. κνημῖδες.

5. ἀνῆπται. Im. II, 33. p. 103, 5 (859) στέμματα δ' ἀνῆπται τῆς δρυός. Quae antecedunt ibi ἡ μὲν χρυσῇ πέλεια ἔτ' ἐπὶ τῆς δρυὸς ἐν λογίοις ἡ σοφὴ καὶ χρησμοὶ (sc. ἔτ' ἐπὶ τῆς δρυός), οὓς ἐκ Διὸς ἀναφθέγγεται, nolim mutare, idque ea de causa, quam exposui ad Gymn. p. 77.

6. ὡς ἔτυχε. vid. V. S. 5, 34 (482) et Matth. ad Eur. Hipp. 926.

7. προσαναπαύουσα. Compositum habet etiam Polyb. IV, 73.

10. διφυές. Alio sensu est epitheton V. S. 11, 4 (489): διφυὴς δὲ ἐτέχθη καὶ ἀνδρόθηλυς.

φυὲς δὲ ἄρα καὶ ἱκανῶς ἐκφοβοῦν. ὅ γε καὶ πῦρ βλέπει, καὶ λάσιον οἷον κομᾷ. ἐπίκειται δὲ οἱ πόδες ἀλλήλων διῃρημένοι, τῶν κεφαλῶν ἑκατέρᾳ. τὸ οἶμαι διπλοῦν τοῦ ἀγῶνος αἰνιττόμενος ὁ ζωγράφος. καὶ ἡ φαρέτρα προσήρτηται χρυσόπαστος ἥδε, καὶ τῶν βελῶν προδεικνῦσα καθ' ὅτι τοῦ πώματος ἀφαιρεῖται. τὸν ἕτερον δὲ ὁρᾷς, ὡς ὑπερφρονεῖ. τὸ γὰρ ξίφος κατέχων, ἀνέλκει μὲν τῇ δεξιᾷ τῆς κώπης, ὡς ὅλον γυμνώσων τοῦ κουλεοῦ. μέχρι δὲ ἐς μέσον προδείξας, ἔοικεν αὖθις βούλεσθαι κατακρύπτειν. τὸ γὰρ ὑπὸ τοῖς ποσὶ θηρίον, ἔτι δυσθανατοῦν, οὔ φησι δεῖσθαι τοῦ ξίφους. κεῖται δὲ ὑποπτῆξαν, καὶ

1. ὅ γε καὶ πῦρ βλέπει. Adhibuit haec Jacobs. ad Im. I, 28. p. 43, 29 (803): ὁρῶ δὲ αὐτὸν — καὶ πῦρ βλέποντα.

4. τὸ οἶμαι διπλοῦν — αἰνιττόμενος. Vituperat talem anacoluthiam vehementer Glycas, περὶ ὀρθότητος συντάξεως, nuperrime editus ab amicissimo Alb. Jahnio, p. 53 sqq. in universum de Philostrato judicans τὰς πτώσεις, ὡς ἔτυχε καὶ ὡς ἔδοξεν αὐτῷ συνάπτει. Eugenicus autem secútus est Im. I, 12. p. 22, 3 (782): καὶ ὁ Ἔρως ἐπὶ τῇ πέτρᾳ τείνει τὴν χεῖρα ἐς τὴν θάλατταν ὑποσημαίνων τὸν μῦθον ὁ ζωγράφος.

5. Iterum expressit Im. I, 6. p. 11, 10 (770): φαρέτραι μὲν οὖν χρυσόπαστοι καὶ χρυσαῖ καὶ τὰ ἐν αὐταῖς βέλη — διαπέτονται περιαρτήσαντες αὐτὰ ταῖς μηλέαις.

8. ὡς ὑπερφρονεῖ. Im. II, 21. p. 88, 25 (845): ὑπερφρονῶν δὲ ὁ Ἀνταῖος ἐπῆρται.

12. δυσθανατοῦν. Im. II, 17. p. 79, 24: δυσθανατοῦντι δὲ αὐτῷ τὴν νῆσον ἐπενεχθῆναι.

ib. οὔ φησι δεῖσθαι. Laudat h. l. Jacobs. ad Imag. p. 599. multis exemplis allatis.

δουλεύει τῶν χειρῶν. ὡς δεινὸν ὦ ἑταῖρε. καὶ τὰ μὲν ἄλλα ἀνθρωπικόν. τρεῖς δὲ ἀνίησι κεφαλὰς ἐκ μιᾶς τῆς δέρης. καὶ τὰ σκέλη, καὶ ἐς ἄκρω τὼ πόδε, θριξὶ καὶ ὄνυξι διεσκεύασται πρὸς τὸ καρτερόν. ὅρα καὶ τοὺς ἀγγέλους ἄνωθεν, στεφανοῦντας τοὺς νικῶντας, στεφάνοις χρυσοῖς καὶ λιθοκολλήτοις. ὁ γὰρ ἥλιος ὅδε, διαφαίνων οὕτω λαμπρῶς οὐδ' αὐτοὺς ἐᾷ διαφεύγειν τὴν ὄψιν. μέτρα μὲν οὖν εἰ διεξίοιμεν ἐν ἑκάστῳ, καὶ ἦθος καὶ σχῆμα καὶ στολῆς τρόπον καὶ ὅπλων, ἔτι δὲ σκιᾶς εὐφυΐαν καὶ ὡς ἅπαντα μιμεῖται τὴν φύσιν, μακρὸν ἂν εἴη λέγειν, καὶ μικρὸν ἐπαινεῖν. σοφίαν δὲ τοῦ ζωγράφου καὶ χάριν, ἔτι δὲ και-

6. **τοὺς νικῶντας.** Scriptor sequitur solennem verbi usum, ut praesens sit pro perfecto. Apud Pindarum quoque Nem. V, 7. reponendum νικῇ Νεμείοις παγκρατίου στέφανον Scholiastarum et Eustathii (Tafel 57, 1.) auctoritate fultum. Si imperfecto uti maluisset Pindarus, scripsisset ἐνίκα, ut Simonides, apud Schneidew. 211, 1. 213, 1. etiam 203, 1. Ipsi Simonidi reddiderim Pindarico exemplo νικῇς in 212, 1; etiam Theocritus VI, 45. νικῇ, non νίκη dedisse videtur.

8. **αὐτούς.** Puta ἡμᾶς, quod librarii fortasse vitio omissum.

9. **εἰ διεξίοιμεν.** Obversabantur Eugenico illa in Im. I, 9. p. 15, 19 (777): εἰ δὲ τῶν αἰγῶν ἐπαινοίης τὸν ζωγράφον — ἢ τῶν προβάτων, ὅτι σχολαῖον αὐτοῖς τὸ βάδισμα καὶ οἷον ἄχθος, ἢ μᾶλλον τάς τε σύριγγας εἰ διεξίοιμεν ἢ τοὺς χρωμένους αὐταῖς (ubi aut τε delendum aut ἢ in καὶ mutandum videtur) — σμικρὸν ἐπαινεσόμεθα τῆς γραφῆς.

13. Haec tantum non ad verbum transscripta ex eod. Imag. loco: σοφίαν δὲ οὐκ ἐπαινεσόμεθα, οὐδὲ καιρόν, ἃ δὴ κράτιστα δοκεῖ τῆς τέχνης.

ρὸν, ἃ δὴ κράτιστα δοκεῖ τῆς τέχνης, ἐπαινέσαις ἂν ἐκεῖνον ἰδών. ὡς ἃ μὲν τῶν ὅπλων ἀποτέθειται τοῖς τρισαριστεῦσι, σκεπαστήρια ταῦτα. καὶ ὧν οὐδὲν ἔδει, τῶν πολεμίων ὑπὸ τοῖς ποσὶν ὄντων. πλήν γε δὴ τοῦ θώρακος, ὃν τῆς ὅλης δικαιοσύνης σύμβολον ὄντα κατὰ Παῦλον τὸν μέγαν, οὐ θεμιτὸν ἀποβάλλειν. φοροῦσι δὲ ἀμυντήρια, μαχαίρας καὶ λόγχας. οἷς ἔδει τοὺς ἐχθροὺς κατακτείνειν καὶ ἡττημένους. ὡς μὴ δὲ κατ' ἄλλων ἰσχύσαιεν ἔτι. ῥῆμα θεοῦ ταῦτα διαιωνίζον ᾧ καὶ ὁ σωτὴρ ἀνελεῖ τὸν ἐπεσχάτων αὐτῷ ἐναντίον. ἡ δὲ χάρις πολλὴ μὲν ἐν αὐτοῖς, πολλὴ δὲ περὶ αὐτοὺς ἀποστίλβει. οἰκοδομαὶ γὰρ αὗται καὶ δένδρα τάδε, καὶ οἱ ἐν αὐτοῖς ὄρνις προσπετόμενοί τε καὶ ἐφεζόμενοι, καὶ σιτί-

4. ὑπὸ τοῖς ποσὶν ὄντων. vid. Matth. XXII, 44. ibique ex Psalmo II. verba.

5. πλήν γε δή. ut V. S. 97, 4 (598).

6. δικαιοσύνης σύμβολον. Paul. ad Ephes. VI, 14: στῆτε οὖν — ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης.

8. μαχαίρας. Paul. l. c. v. 17: δέξασθε — τὴν μάχαιραν τοῦ πνεύματος.

10. διαιωνίζον. vide Philonem IV, 158 ed. Pf.

11. ἀνελεῖ. cf. Buttm. II, 66.

ib. τὸν ἐπεσχάτων αὐτῷ ἐναντίον. Paul. 1. ad Cor. XV, 26: ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.

13. ἀποστίλβει. cf. Im. II, 3. p. 57, 28.

14. ὄρνις. De forma accusativi ὄρνις agit Bm. I, 236. et exstat ea Im. I, 9. p. 16, 37 (776). Eugenicus quo exemplo nominativum usurpet non succurrit.

15. προσπετόμενοι. V. A. IV, 3, 142. εἰς δὲ

ζοντες τὰ νεόττια, πάντα χαρίτων πλέα. καὶ ὁ ἀὴρ ἔτι μεστὸς, ἀστέρων δή τινων καὶ ἰδώλων, οἶμαι, τὰς νεφέλας αἰνιττομένων. ἐπτέρωνται γὰρ τοῖν ὤμοιν, κἀπὶ θηρίων τοιούτων ὀχοῦνται. διεσπάραται δὲ πανταχῇ τῷ μὴ λυμαίνεσθαι τῇ αἰθρίᾳ μάλα ἡδὺ προσγελώσῃ. τὸ δὲ ἀστέρας εἶναι τοῦ ἡλίου τὰ ὑπὲρ γῆν φαίνοντος, μηδὲν θαυμάσῃς. ὁ γὰρ νοητὸς ἥλιος, ᾧ προσήκουσι τάδε, συναναφαίνειν οἶδε καὶ τοὺς ἀστέρας, τὰς περὶ αὐτὸν νοερὰς δυνάμεις. καὶ εἰ πρὸς τὰ γλύμματα τῶν τοιχῶν ἀπίδοις, ἔτι μᾶλλον θαυμάσεις. ἔκκεινται γάρ καί εἰσιν οἷα λαβέσθαι.

αὐτῶν προσπετόμενος ἐβόα grata negligentia, quam Eugen. imitatus est, ac frustra deletum ivit Hamackerus Lect. Philostr. 71.

3. τὰς νεφέλας αἰνιττομένων. qui nubium figuras assumunt.

4. ἐπὶ θηρίων τοιούτων. quales describit Aristophanes Nub. 346. et respicit Philostr. V. A. II, 22. p. 74. καὶ νὴ Δία οἱ λύκοι τε καὶ οἱ ἵπποι τί φήσεις; ἆρ' οὐ μιμητικῆς ἔργα; (sic Parisini)

ib. ὀχοῦνται. ut Im. I, 28. p. 44, 30.

5. διεσπάραται. cf. Spec. Philostr. G. J. Bekkeri p. 29 sqq.

8. ᾧ προσήκουσι τάδε. Sic Xenoph. Hell. VI, 3, 5: τί τοῦτο αὐτονομίᾳ προσήκει, quod mutatum voluit Valck. Diatr. Eurip. c. 11. p. 123.

11. ἀπίδοις. vid. Im. I, 1. p. 5, 8 (764).

12. ἔκκεινται — λαβέσθαι. Paene eadem legis Im. II, 1. p. 53, 9 (810): οὐ βούλεται γεγράφθαι δοκεῖν ἡ θεὸς, ἔκκειται δὲ οἷα λαβέσθαι. Ex Nostri loco consequitur, οἷα retineri debere, nec mutandum in οἵα. cf. Osann. Auct. Lex. Gr. 28.

καὶ τὰ ὀρνίθια τάδε, ὡς πρόθυμον ᾄδουσι καὶ τορόν. ἀλλὰ καὶ ποταμὸς ἡδὺς καὶ κάτωθεν ὑποκυμαίνων. καὶ ἡ δορκὰς ἥδε διψαλέα τὴν φύσιν οὖσα, σπᾷ τοῦ ὕδατος κεκυφυῖα, ὅλῳ τῷ ἄσθματι. καὶ ἰχθῦς ἐν τῷ ποταμῷ καὶ ὄρνις ὅδε τῶν ὑγρῶν. ὅρα καὶ τὴν λαγίναν ἐκείνην, ὡς ἡγεῖται λανθάνειν προσισχημένη τῇ γῇ καὶ τὴν κεφαλὴν συγκρύπτουσα, λήσεται δὲ οὔτ' αἰετὸν ὑψιπέτην ὀξὺ βλέποντα, καὶ ἡμεῖς ἂν αὐτὴν ἕλοιμεν βουληθέντες. καὶ φερέοικος ὅδε, τὸν αὐχένα προαγαγὼν καὶ ἐκτείνων τὰ κέρατα, πρόεισι βάδην. ὡς θαυμάσαι ἄξιον τῆς μὲν γραφῆς τὸν τεχνίτην, τοῦ δὲ ζῴου τὴν φύσιν. ἡ γὰρ προβολὴ

1. ὡς πρόθυμον. quam laete canunt! Supra in 3. est τορόν τι καὶ γεγηθός.

2. ἡδὺς καὶ κ. ὑποκυμαίνων. Im. I, 9. p. 17, 16 (777): ἰδοὺ καὶ ποταμὸς ὑπεξέρχεται τοῦ ἕλους εὐρὺς καὶ ὑποκυμαίνων. An legit Eugenicus in suo exemplari ἡδὺς κ. ὑποκ.?

4. σπᾷ τοῦ ὕδατος. cf. V. S. 91, 27 (592) ὕπνου σπάσαι. Ceterum meminit fortasse Od. κ. 160.

6. λαγίναν. Ni fallor, docto theologo hîc Aesch. Agam. 119. obversabatur: βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν. Quod ibi in codd. legitur ἐρικύματα, prave defensum retinuit Klausen, quum vulgo ex corr. Triclinii legatur ἐρικύμονα. At haec aperte correctio est. Dedisse puto Aeschylum ἐρικυμάδα. cf. Hes. κυμάδας. ἐγκύους.

8. Similia de latitante lepore Im. I, 6. p. 12, 20 (772).

ib. ὑψιπέτην. vid. Il. χ. 308 sqq.

10. φερέοικος. ex Hesiod. Ἔργ. 571.

12. τῆς μὲν γραφῆς. cf. Im. I, 9. p. 17, 19 (777).

13. ἡ γὰρ προβολὴ τῶν κ. Anacoluthiam vides

τῶν κεράτων, ἐπεὶ μή ἐστιν ὄμματα τῷ θηρίῳ, τούτοις πειρᾶται τῶν προκειμένων, ἵν' εἰ μὲν εὔοδα ᾖ καὶ λεῖα, ταύτῃ προίοι. ἔχοντα δὲ ἄλλως, ἑτέραν τράποιτο ἢ καὶ συστέλλοιτο πάμπαν. ὡς ἁβρῶς ἡμῶν εἱστίασεν ὁ ζωγράφος τὴν ὄψιν. ἀλλὰ καὶ τὸν ἐπὶ γυμνοῦ τόνδε καθήμε-

Nostro plus semel admissam, e. g. V. S. 25, 5 (510): λόγοι δ' Αἰσχίνου, κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακός. Nerone c. 2: τὰ γὰρ Πύθια, τούτων μὲν ἑαυτῷ μετεῖναι μᾶλλον ἢ τῷ Ἀπόλλωνι. V. A. II, 15, 67: ἔπειτα ἡ διάβασις, εἰ μὴ προδιέβαινον οἱ μέγιστοι σφῶν, οὔπω παρεῖχον (sic plerique libri, παρεῖχεν si retineatur, impersonale habendum) ἂν τοῦ ὕδατος εἰ διαβήσονται πάντες.

4. *συστέλλοιτο.* Venit hic in mentem correctionis, quam V. D. Goerlitzius adhibuit loco vexatissimo in Dionis dissertatione 18. p. 475. ed. R. (255. Mor.) Totum adscribam: τοῦτο μὲν δὴ πρῶτον ἴσθι, ὅτι σε δεῖ σοι πόνου καὶ ταλαιπωρίας. τῷ μὲν γὰρ ἐπὶ πολὺ ἀσκήσαντι ταῦτα ἐπὶ πλεῖστον προάγει, τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ, συλλήψει τὴν ψυχὴν, καὶ ὀκνηρὰν ποιεῖ προσφέρεσθαι. Hic unus Laurentianus (59, 22) προάγειν, alter (81, 2) ὀκνηροτέραν praebet. In monstroso verbo illo συλλήψει desudarunt VV. DD. Casaubonus proposuit συλλυπεῖ, Reiskius συντρίβει, συγκόπτει, συντήκει, συλλείβει, Sardos venales omnes, Goerlitzius συστέλλει, et propius ad ductus litterarum Jacobsius στύψει vel συστύψει. At mutatione locus omnino haud eget, si lectionibus Laurentianorum utaris: συλλήψει videlicet verbum non est. Distingue: τῷ μὲν — ταῦτα, ἐπὶ πλεῖστον προάγειν, τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ συλλήψει τὴν ψυχὴν καὶ ὀκνηροτέραν ποιεῖ προσφέρεσθαι. Ad προάγειν supple ποιεῖ. Homo ὀλίγον χρησάμενος συλλήψει est parum eruditus, parum exercitatus. cf. not. ad V. S. 37, 28.

νον πέτρας, αἰνίττεται δὲ ἄρα τὸ ὄρος, ἐπ' αὐτῷ τούτῳ γέγραφεν, ἵνα μή ποτ' αὐτῷ θεατὴς ἐπιλίπῃ.

5.

Καὶ ἄλλα μὲν σμικρ' ἄττα δοκοῦντα μέγιστε δεσποτῶν, γλαφυρά γε μὴν καὶ πρὸς τῷ κάλλει καὶ λόγῳ καὶ σπουδῇ παραμεμιγμένα, ἄλλοις τε πέπαικται, μᾶλλον δὲ ἐν παιδιᾶς ἐσπούδασται μέρει, κἄμοιγε ἐν ἑτέροις. σκόπει δὲ καὶ νῦν εἰ μὴ κατόπιν ὁ λόγος πάντη τῶν ὁρωμένων ἔσται. τὰ μὲν οὖν ἄλλα γραφικῆς τε καὶ πλαστικῆς, καὶ ὅσα χρωμάτων ἄνθει, ἢ πρὸς διαφόροις ὕλαις γράφοντες ἢ πλάττοντες ἢ ξέοντες οἱ δημιουργοῦντες ἐξεικονίζουσιν, ὅσῳ ῥάω πρὸς τὴν μίμησιν, τοσοῦτον ἧττον θαυμάζειν ἄξιον. τὸ δ' οὕ-

1. ἐπ' αὐτῷ τούτῳ. cf. not. ad V. S. 36, 7 (522).

5. γλαφυρά γε μήν. Ner. 2: ἔτι γε μὴν τὸν Δαρεῖον (sc. ἐνθυμηθείς).

ib. πρὸς τῷ κάλλει. cf, notata ad Ner. 9, 7. Praeter κάλλος conspicua est in his picturis ratio et studium.

7. De μᾶλλον δὲ egi supra.

10. Excitat ista Jacobsius ad Im. 3, 13. mutans in sequentibus γλύφοντες ἢ πλάττοντες, quam correctionem ideo sequi vereor, quia Eug. de industria omisisse puto mentionem τῆς γλυφικῆς, quam postea demum facturus erat.

14. τὸ δ' οὕτως γεγλύφθαι. V. A. V, 7, 192. sic scribe: τραγῳδίαν δ' ἐπαγγεῖλαι (ita Par. 1801) καὶ κιθαρῳδίαν ἀνδράσιν, οἷς μήτε θέατρόν ἐστι μή-

τως ἐναργῆ τῶν ὄντων ὑποδείγματα γεγλύφθαι πρὸς βραχεῖ δέρματι, ὡς μὴ πότερον μᾶλλον τῆς ὑπερφυοῦς ἰσχνότητος, ἢ τῆς κατὰ φύσιν ἑκάστου ἀκριβείας ἔχειν θαυμάσαι, ἀστεῖον ἂν εἴη μᾶλλον καὶ σοφίας οὐκ ἐκτός.

Πεδιὰς μὲν ἑκατέρωθεν ὑπέστρωται τοῦ φυτοῦ. τὸ δέ, πλάτανος, χαρίεσσά τε καθ' αὑτήν, ὅτι καὶ λειμῶνι κομᾷ καὶ θάμνοις βρύουσι καὶ ὀργώσῃ τῇ ἀμπέλῳ κοσμεῖται, καὶ ἄνθεσι στεφανοῦται, καὶ βουνοῖς μικροῖς ὀγκοῦται καὶ τῇ

τε σκηνὴ πρὸς τὰ τοιαῦτα, στάδιον δὲ αὐτοφυὲς καὶ γυμνὰ πάντα, τὸν δὲ νικᾶν ἃ χρὴ ἐγκαλύπτειν — τί φήσεις; Fortius hic est τὸν δέ, quam τὸ δέ, a V. D. propositum, quod si Philostr. dare voluisset, ante prima verba τραγῳδίαν δ' ἐπαγγεῖλαι collocare debuit. Minus recte tractavi haec ad Ner. 2, 4. Restitue τὸ γὰρ Dioni Chrysost. or. 18. p. 473. ed. R. init., ubi vulgo legitur τὸν γὰρ ἡλικίας τε ἐν τῷ ἀκμαιοτάτῳ ὄντα — ἔτι παιδείας ὀρέγεσθαι — σφόδρα μοι ἔδοξε γενναίας ψυχῆς — ἔργον εἶναι ex optimo Parisino 2958.

2. Confusa videntur verba. Scripsit fortasse Eugenicus: ὡς μὴ ἔχειν (sc. τινά) πότερον — ἀκριβείας θαυμάσαι.

8. λειμῶνι κομᾷ. Im. II, 15. p. 76, 12 (833) est λάχνῃ — βρύων κομῶσα καὶ φυκίων, sed Pal. 129: βρύοις κομῶσα καὶ φυκίοις, nec aliter Phil. Jun. I. p. 111, 1.

9. ὀργώσῃ τῇ ἀμπέλῳ. Im. II, 17. p. 80, 29 (837): βότρυς δὲ οἱ μὲν ὀργῶσιν, οἱ δὲ περκάζουσιν. Etiam Pollux I, 61. ἄμπελος ὀργῶσα.

10. βουνοῖς μ. ὀγκοῦται. Tangit haec Welckerus Trilog. Aesch. 404. adde Boiss. Anecd. V, 7. et enc. Trapez. ed. Tafel. 372, 34.

ἱλαρᾷ ὑπαλλαγῇ τὴν ὄψιν λαμπρῶς ἑστιᾷ. καὶ ἄλλως ἔτι χαριεστέρα μᾶλλον, ὅτι καὶ συχνὰ τῶν σπουδαίων ἐπ' αὐτῇ, καὶ θήρας ἤδη τὰ κράτιστα. ὅρα γάρ. κύνε δύω τούτω τῶν λακωνικῶν δὲ καὶ εὐφυῶν, ὅλω θυμοῦ πνέοντε, ἡ μὲν ἄρτι λυθεῖσα τῆς πλατάνου, ἐπὶ διττῷ ὥρμηκε λαγῷ καὶ τὸν μὲν ἤρηκεν ἤδη, καὶ σπαράττει, καὶ θερμὸν αἷμα λάπτει. τὸν δὲ, μέλλει, ἐπιπτώσσοντα δεῦρο τῇδε τῇ ῥάμνῳ. ἡ δὲ, ἀλλὰ λῦσόν τις ἐπ' ἐκείνῳ, ὡς μὴ σφαδάζοι, καὶ πρὸς

1. τῇ — ὑπαλλαγῇ. V. S. 70, 11 (564) laudatur Herodis λόγος συφῶς ἐξαλλάττων.

ib. λαμπρῶς ἑστιᾷ. V. S. 77, 5 (578): τί δὲ σὺ μέλλω — λαμπρῶς οὕτως ἑστιάσαντα. Repetiit phrasin Eug. in enc. Trapez. paullo auctiorem, ed. Tafel. 372, 29: τῇ ἱλαρᾷ καὶ πυκνῇ ὑπαλλαγῇ τὴν ὄψιν ἡμῖν λαμπρῶς ἑστιᾷ.

5. ὅλω θυμοῦ πνέοντε. Im. I, 4. p. 9, 12: γράφει μειράκιον — παλαίστρας πνέον, et quos laudat Jacobs. ad h. l. Alio casu Ar. Equ. 437: ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ, et Av. 1121: ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων, quae verba expressit Phil. Im. I, 30. p. 48, 31 (808): ὁ δὲ ὑπέρφρον ἤδη (sic optimi libri, etiam Bruxell.) καὶ Ἀλφειὸν πνεῖ. Codices ibi ἀφνειόν, nisi quod Brux. ἀλφναόν (sic) e correctione rec. m.

6. ὥρμηκε. Im. II, 23. p. 91, 24 (848): ὁ θάλαμος, ἐφ' ὃν ὥρμηκε.

8. λάπτει. cf. Il. π. 161. et Aristoph. ap. Athen. 485. a. τὸ δ' αἷμα λέλαφας τοὐμόν, ὦναξ.

9. δεῦρο. adhuc. cf. G. J. Bekker Spec. Philostr. p. 79.

ib. λῦσόν τις. Imperativum pron. indefinito junctum tractat Matthiae Gr. §. 511.

τὸν θηρατὴν ἀπόντα δυσχεραίνοι, καὶ τὰ δεσμὰ τυραννοίη, καὶ μηδὲ ὁ λαγῴς διαφύγοι, εἰ μὴ ἐπιστρέφοις ἂν πρὸς τὰ μείζω, θυμοῦ καὶ φρονήματος πλέω· λέων ἐπ' ἐλάφῳ κεραῷ, οἷον τὸ ἔπος γράφει. καὶ τὸν μὲν ὀκλάσαντα καὶ ἐπ' ἐδάφους συμπεπτωκότα, τῶν νώτων ὑπερκείμενος ὁ θὴρ καὶ ταῖς ἀκωκαῖς εἰς ὠτειλὰς ἐδρασθεὶς, δεινῶς μινυρόμενον ἀπὸ μηροῦ δαρδάπτει. βασιλικῷ καὶ γενναίῳ παραστήματι πάντων ὑπερορῶν, ὅθεν καὶ πίθηκος αὐτοῦ που σειρᾷ προσισχημένη, φόβῳ καὶ πτοίᾳ τῶν δρωμένων ὑπερπηδήσασα, καὶ μικρὸν ὑπεραναβᾶσα τοῦ στερεοῦ τῆς πλατάνου, οἷον ἐκ περιωπῆς τινος οὐκ ἀτρόμως τὰ γινόμενα καθορᾷ. καὶ γέρανος ἐκπτᾶσα ταὐ-

1. τὰ δεσμὰ τυραννοίη. cf. Boiss. Anecd. II, 348. Quae ibi leguntur, Anonymus περὶ γραμματικῆς duxisse dicitur e Greg. Nazianz.

3. ἐπιστρέφοις. V. S. 89, 22: τὸν Ὑπερίδην τὸν ἐς μόνας ἐπιστρέφοντα τὰς τοῦ Δημοσθένους γνώμας.

4. λέων — κεραῷ. Respicit Il. ο. 270 sqq. π. 158.

5. ὀκλάσαντα. Im. II, 2. p. 55, 30 (812) τοὺς προσθίους ἐνοκλάσας ἐς ἴσον καθίσταται τῷ παιδί, meliores libri, etiam Jacobaeus habent ὀκλάσας.

8. δαρδάπτει. ex Il. λ. 479.

9. παραστήματι. Ita Himerius p. 788.

ib. πάντων ὑπεραρῶν. Im. II, 15. p. 75, 16: ὑπερορῶν τοῦ καθεύδειν.

11. τῶν δρωμένων Im. I, 13. p. 24, 13 (784): κατόψει γὰρ αὐτὰ καὶ δρώμενα.

13. ἐκ περιωπῆς. Heroic. 729 (Boiss. 202): ὁ δὲ ἐκ περιωπῆς τοῦ Πηλίου ὁρῶν ταῦτα.

14. ἐκπτᾶσα. Phil. Jun. XIII, 134, 16: μή πη

τὸ τοῦτο, κατὰ τῆς μυρικῆς ὄπισθεν μεταχωρήσασα σὺν κλαγγῇ. σκέψαι τὰ τοῦ δένδρου, ἐπειδὴ πρὸς τοῦτο οἶμαι ἐπείγῃ. ἡ μὲν δὴ καλλίστη πλάτανος ἥδε, γῆς ἀγαθῆς τυχοῦσα καὶ πίονος καὶ παρὰ διεξόδους ναμάτων, ἀμφιλαφής τε ὡς ὁρᾷς, καὶ δασεῖα, καὶ ἐπὶ πολὺ τοῦ ἀέρος ἀναπέφυκε, κλῶνας καὶ πτόρθους καὶ ὄζους πάντα εὐθαλῆ καὶ ἡβῶντα προβαλλομένη. καὶ πτηνῶν ἅπαν γένος, καὶ ἔτι τῶν μελικῶν ὀρνίθων, ἐννεοττεύειν καὶ καταφωνεῖν καὶ περιίπτασθαι παρεχομένη. ἦρος ἀκμὴν τῇ τῶν φύλλων ὥρᾳ καὶ σκιᾷ καὶ τῇ πανταχόθεν περιβομβήσει νόει.

λάθῃ τις ἐκπτᾶσα τοῦ στόματος μέλιττα. — ταὐτὸ τοῦτο: idem metuens.

5. ἀμφιλαφής de coma est Im. I, 23. p. 38, 1.

8. προβαλλομένη. ut in Corinthi encomio: μίαν μόνον εἴσοδον προβαλλομένη.

9. τῶν μελικῶν ὀρνίθων. Plut. Mor. 120. a. τοῦ μελικοῦ Πινδάρου meminit. Sed Jacobsius legit μουσικῶν, ut verear, ne erraverim. μουσεῖα ὀρνέων habes apud Ph. Jun. III, 115, 1 (866) et ib. VI, 119, 7. μουσικοὺς, οἷς ἐνευστομεῖν τοῖς ἄλσεσιν ἔθος, quo loco alluditur ad Soph. Oed. C. 17, in quo versu Suidas (s. v. Ἶρος) πυκνώτερον et Ph. Jun. 113. πυκνότερον praebent, lectionem majore auctoritate nitentem, idcoque fortasse mutatam, quia de productione antepenultimae dubitabatur.

12. περιβομβήσει νόει. propter bombum apium undique auditum puta veris esse tempestatem. νοεῖν sic usurpatum legitur V. A. IV, 28, 168: τὴν μὲν δὴ μίτραν ὅ,τι χρὴ νοεῖν τί ἂν ἐξηγοίμην ἔτι, μνημονεύσας ἱερέως ἀνδρός, nec aliter Im. I, 1. p. 5, 7 (764), ubi in plerisque codd. legitur et in vett. edd. συμβάλλω μὲν οὖν ὅ,τι νοεῖς. Maluit Jacobsius locum sic conformare, ut scriberetur συμβάλωμεν οὖν ὅ,τι νοεῖ (sc. ταῦτα),

ἀλλ' ἵνα μὴ κατ' εἶδος τὰ ἐν τῷ φυτῷ λέγωμεν, ὅσα τε τῶν πτηνῶν μελικώτερα, τοὺς ἀστρογλήνους, τοὺς κορυδάλλους, τοὺς στρουθοὺς, τοὺς σοβαροὺς πέρδικας, τὴν ἐπωάζουσαν ἀηδόνα, τὰς περιλαλούσας χελιδόνας, ψάλται τέχνης πλὴν, τί δ' ἄλλο; Πρόκνην ἡδεῖαν καὶ Φιλομήλαν ἁμαίμονα ἀδικηθεῖσαν πάλαι Τηρεῖ μυθικὸς ἄν τις εἶπε. καὶ ὁπόσα τῶν μιμηλῶν, τὸν ψιττακὸν, τὴν κίτταν, τὰ λοιπά. ἔτι δὲ φασιανὸν καὶ ἴυγγα, καὶ

in qua mutatione offendit συμβάλωμεν et notione et numero.

2. Iterum Jacobsius μουσικώτερα.

ib. ἀστρογλήνους lexica ignorant.

3. Jacobsius legit κορυδάλους.

5. ψάλται — ἄλλο Repetiit ista Eug. in encom. Trapezuntis, ed Tafel. 372, 49. et quae sequuntur, mutatis verbis sic exprimit l. c. 372, 50: καὶ μὴν καὶ Πανδιονίδι κόρῃ, Πρόκνῃ ἡδείᾳ τὸν υἱὸν Ἴτυν ἀνακαλουμένῃ μυθικὸς ἄν τις εἴποι (scil. συνήδεται Τραπεζοῦς). Illa ψάλται — ἄλλο significare videntur contemtum avium, quae non sint ᾠδοὶ sed ψάλται tantum. In encomio ibid. l. 48. legimus: πάντα πανταχόθεν ἦρος ὥρᾳ καταφωνοῦσιν, ἔνια δὲ καὶ δι' ἔθους, ψάλται etc. Scribe δι' ἔτους. In nostro loco nescio an confusionem commiserit librarius, et sic constituenda sint verba: πέρδικας, τὰς περιλαλούσας χελιδόνας — ψάλται τέχνης πλὴν, τί δ' ἄλλο; — τὴν δ' ἐπῳάζουσαν ἀηδόνα Πρόκνην κ. τ. ἑ. Hic tenendum, quod Hasius Vir Summus animadvertit, ed. Tafel. p. XXIV: „Procnen ergo in lusciniam non in hirundinem mutatam Eugenicus cum Apollodoro statuere videtur.“ ὁ μυθικός est Apollodorus (III, 14, 8).

8. τὸν ψιττακὸν, τὴν κίτταν. consociatae hae aves etiam Im. II, 17. in fine.

κόψιχον, καὶ ταῶ τὸν ἀγέρωχον, τρυφῆς γὰρ ταυτὶ μᾶλλον, ἴδωμεν ὅσα σοφίας, εἴτι ἐγὼ ξυνίημι μᾶλλον. αἰετὸς μὲν οὗτος, ὃς δὴ τῶν ὀρνέων ἁπάντων λέγεταί τε καὶ φαίνεται ἡγεμὼν καὶ δὴ καὶ τῶν αἰνειάνων σκήπτρων περιστεφὴς πάλαι σύμβολον, ἄνωθεν ἐξ ἄκρων καὶ μεσαιτάτης τοῦ φυτοῦ κορυφῆς, οἷον ἀπὸ σκοπιᾶς τινὸς τὰ ὑπ᾿ αὐτὸν ἡγεμονικῷ βλέμματι περιαθρεῖ, καὶ πᾶσαν ἄδειαν τοῖς ὀρνέοις ὡς ὑπηκόοις καὶ καλῆς τινος πόλεως οἰκήτορσιν ἐμποιεῖ. ὅθεν ἐκ τῆς ἑκατέρωθεν ἐπὶ πρέμνων νοσσιᾶς, τρυγόνων δὲ οἶμαι, σὺν ἀσφαλείᾳ πάσῃ καὶ χαρμονῇ, ἣ μὲν σφῶν εἰσοικίζεται, καὶ σιτίζει τὰ νεογνά, ἡ δὲ ἐξοικίζεται, καὶ τὸ μὲν τῶν νεοττίων πτερυ-

1. **ταῶ.** Nota formam accusativi, Buttm. I. p. 213. non commemoratam. Sequentia Jacobsius sic distinxit: τρ. γ., ταυτί. μᾶλλον ἴδωμεν — μᾶλλον. τρυφῆς sunt, quae Philostr. Im. I, 13. p. 23, 16. appellat ἡδύσματα τῆς γραφῆς.

5. **αἰνειάνων.** Corruptam vocem littera mutata restituo, fuit ab Eugenico Αἰνειαδῶν scriptum, praeterea lego τῷ Αἰν. σκήπτρῳ sive τῶν Αἰν. τῷ σκήπτρῳ, et περιστεφές.

9. Simillima sunt infra in enc. Corinthi et in enc. Trapezuntis, p. 371, 1.

11. **ἐπὶ πρέμνων.** Im. II, 17. p. 81, 35 (838) fortasse augeri potest ex Anonymo περὶ γραμματικῆς apud Boiss. Anecd. II. p. 358: Φιλόστρατος δὲ λέγει τεκμαίρομαι τοῦ δένδρου μὲν τῶν πρέμνων ἐν Εἰκόσιν.

14. **πτερυγίζον** Aristoph. Av. 795: οὗτος ἂν πάλιν παρ᾿ ὑμῶν πτερυγίσας ἀνέπτατο, ubi syntaxis formam vulgo suspectam ἀνέπτατο postulare videtur, oblatam a codd. Rav. et Ven.

γίζον καὶ καταφωνοῦν, χαίνει πρὸς τὴν μητέρα. ἡ δ' ἐφιπταμένη καὶ πρὸς τῷ ῥάμφει τὴν ἐδωδὴν περιφέρουσα, ἐμβάλλει τῷ τοῦ παιδός. τὸ δ' ἐφησυχάζει προδεδειπνηκός. τὸ δ' ἔτι μικρόν τι πρὸς, καὶ οὐκ ἀποχρῆναι περιβομβοῦν οἶμαι φησί. τῆς δὲ λοιπῆς νεοττιᾶς, βουλιμιῶντα πάντα. καὶ τετριγότα καὶ πρὸς ἄμφω τὼ γονέε κεχηνότα, τὴν τροφὴν ἁρπάσει, καὶ περιχαρῶς ἐμπλησθήσεται. χάριεν καὶ τὸ τῶν περιστερῶν ζεῦγος. ἔοικε δὲ σπερμολογῆσαν ἐπιεικῶς καὶ λουσάμενον ἄρτι, τῷ πτόρθῳ τῷδε σύνεγγυς ἀλλήλοιν ἐπιπτῆναι. καὶ ἡ μὲν αὐτῶν ψήχει τὸ πτερὸν καὶ ὡς εὐφυῶς ὡραΐζεται, ἡ δὲ ἐκκαθαίρει. καὶ οὐδὲ πρὸς τὸν μῦν ἐπιστρέφει, ἑρπύσαντα κάτωθεν διὰ τοῦ στερεοῦ πρὸς τὰ νοττία.

3. περιφέρουσα. Scr. παραφέρουσα, ut est Gymn. 6, 17.

4. ἐφησυχάζει. Compositum hoc invenitur etiam apud Polyb. II, 64.

6. βουλιμιῶντα. cf. Foës. Oec. Hippocr. s. v.

9. τὸ τῶν περιστερῶν ζεῦγος, ut Luc. II, 24.

10. σπερμολογῆσαν. Aristoph. Av. 232: σπερμολόγων τε γένη κριθοτράγων.

12. ψήχει. Vid. Im. I, 9. p. 16, 23 (776), ubi Jacobsius hujus quoque loci meminit et varietatis ψήχει (typographi vitio ibi legitur ψύχει), Monacenses praebent ψύχει.

13. ὡς est θαυμαστικόν.

ib. ὡραΐζεται. cf. Thom. Mag. s. v.

14. πρὸς τ. μ. ἐπιστρέφει. Jacobsius laudat Phil. Jun. VI. p. 119, 12: οὐδὲ ἐπιστρεφόμενος τοῦ πτωκὸς πλησίον ὄντος.

ἀλλ' ὁ κάκιστ' ἀπολούμενος οὗτος, εἴτε πρὸς τὸν ὕπερθεν φοβερὸν ἀτενίσαν σκοπὸν, οἷόν τινα ποιμένα καὶ στρατηγὸν, εἴτε συριγμῷ τινι ποθὲν διαταραχθεὶς, ἢ καὶ τῇ συνήθει πτοίᾳ, δειλὸν γὰρ τὸ ζῶον, μόνος κατασεισθεὶς, ὅλω τὼ πόδε κύμβαχος κατὰ πρανοῦς ἐξ ὑποστροφῆς αὖθις χωρεῖ καὶ τὸν ἰόντα δὲ ἐκδειματώσει καὶ φιλοψυχῆσαι καὶ πρὸς τὰ ἄνω σαφῶς ἀποδειλιᾶσαι παρασκευάσει. καί που σὺν ἐκείνῳ τρωγλοδυτῆσαι καὶ σκότῳ καὶ ἀφανείᾳ ἑαυτὸν παραδοῦναι. οὐδὲν ἄρα δεινὸν ὧδε, οὐδὲν σκυθρωπὸν, οὐδὲν ἐπιζήμιον, πάντα τερπνὰ, χρηστὰ πάντα, καὶ χάριτι καὶ θαύματι συμμιγῆ. καὶ εἰκότως ἀμέλει τῷ χρηστῷ καὶ χαρίεντι καὶ θαυμαστῷ δεσπότῃ ταῦτά τε καὶ ὁ ἐπὶ τούτοις εἰ καὶ μικρὸς ἀνατέθειται λόγος.

5. μόνος κατασεισθείς. Displicet hoc. Fuisse puto μόνῃ: sola formidine decussus est.

ib. ὅλω τὼ π. Totis pedibus extensis in caput dejicitur.

7. Occurrenti alii muri suadet, ne ascendat in arborem.

9. τρωγλοδυτῆσαι. Hom. Batr. 52: γαλέην περιδείδια — ἢ καὶ τρωγλοδύοντα κατὰ τρώγλην ἐρευνεῖ. Caret hoc et decem superioribus versibus cod. Pal. 45.

14. δεσπότῃ. Dicit Joannem Palaeologum, ad quem epistolam quoque misit hoc initio: δῶρόν τοι τοῦτο μικρόν, citatam ab Allatio de Synodo VIII. pag. 56 (545).

6.

Κόρινθος ἡ πόλις ἀκρόπολις μὲν τὸ ἀρχαῖον οὖσα καὶ ἀκροκόρινθος ὠνομασμένη, νῦν δὲ εἰς πόλιν ὅλην συντεθεῖσα κεῖται μὲν ἐν καλῷ τῆς περιωνύμου πελοποννήσου κατ' αὐτὸ μάλιστα τοῦ Ἰσθμοῦ τὸ κεφάλαιον. εἰ δὲ καὶ κορυφὴν ἢ ὀφθαλμόν τινα σύμπάσης τῆς γῆς προσείποι, οὐκ ἂν οἶμαι τοῦ προσήκοντος ἁμάρτοι. τῆς δὲ τῶν στοιχείων ξυμμετρίας, ὃ δὴ κράτιστον ἐν ξυνοικίαις καὶ τῆς τῶν ἀέρων κράσεως οὕτως ἀρίστης ἔτυχε μὲν, ὡς ἑτέρᾳ μηδεμιᾷ τινὶ τῶν πρωτείων ῥᾳδίως παραχωρεῖν. πρός τε γὰρ θέρους ὥραν ἀποχρώντως κέκραται, πρός τε χειμῶνος τῷ ὅλῳ κλίματι, μέσῳ τῆς καθ' ἡμᾶς οἰκουμένης πεφυκότι τὸ ὅμοιον μετρίως ἔχει. ἡ αὐτὴ δὲ καὶ πόλις ὅλη καθ' αὐτὴν καὶ ἀκρόπολις οὐ τοῦ ἐν Ἰσθμῷ νεουργηθέντος αὖθις ἄρτι θαυμαστοῦ περιβόλου μόνον, ἀλλ' ἤδη καὶ ξυμπάσης Πελοπον-

1. Haec ἔκφρασις ἐγκωμιαστική tamquam epitome est ejus, quam Trapezuntiorum civitati scripsit, editam a Tafelio in Opusculis Eustathii p. 370 — 373. Plurima non differunt, mutata tamen nonnulla, quae de Corintho dici non poterant.

4. κατ' αὐτὸ μάλιστα. cf. nostra ad V. S. 12, 6 et 22, 8.

5. Apud Tafel. minus bene: καὶ ὀφθαλμόν.

8. ὃ δὴ κράτιστον. ut Im. I, 9. p. 17, 27 (777).

10. Tafel: τετύχηκε μέν.

11. παραχωρεῖν. Im. II, 5. p. 59, 29 (816): παντὸς ἁπαλοῦ κόσμου παρακεχώρηκεν ἡ Ῥοδογούνη τῷ ἵππῳ.

νήσου. ἀπορθήτῳ δὲ τείχει καὶ πύργοις ἠσφαλισμένη, καὶ ἀκροπόλει πρὸς τῷ τῆς κορυφῆς ἀκροτάτῳ κατωχυρωμένη, πόῤῥωθεν ἀεὶ τὴν τῶν πολεμίων ἔφοδον ἀποτρέπει, καὶ πᾶσαν ἀσφάλειαν τοῖς οἰκήτορσιν ἐμποιεῖ· μίαν μόνον εἴσοδον καὶ τήνδε τραχυτάτην, κατὰ τὸν τῆς ἀρετῆς οἶμον, προβαλλομένη. καλὸν ἄρα καὶ τόδε, καὶ τῆς προνοίας οὐκ ἐκτός, ὡς μὴ πάντη ἄμικτον ἐπιπόνου τὸ τοῦ καλοῦ χάριεν εἴη. ἐλευθερίως δὲ καὶ μεγαλοπρεπῶς ἔχουσα τῷ σχήματι, ἐπὶ πολὺ μὲν ὕψου τῆς γῆς ἐξηρμένη, εἰς μέσον δὲ ἀέρα θαυμασίως ἀνῳκοδομημένη, Ὀλύμποιο δὲ καρήνων ποιητικῶς εἰπεῖν ἐφαπτομένη, τοὺς οἰκήτορας καὶ τοὺς αὐτῇ προσιόντας ἅπαντας γῆθεν ἀνάγει καὶ μεταρσίους παρασκευάζει, καὶ ὥσπερ τῷ σώματι, οὕτω δὴ καὶ τῇ ψυχῇ καὶ ταῖς γνώμαις ὑψηλοὺς καὶ μετεώρους, καὶ τὸ ὅλον οὐρανίους ἀποτελεῖ, συχναῖς ταῖς παρ' ἑαυτῇ χάρισι τὸ τοῦ χώρου σκληρὸν καὶ τὸ τῆς χώρας

3. Apud Tafel. 370, 87. deest τήν.

6. Respicit notum Hesiodi dictum 'E. 287.

7. vid. Tafel. 371, 35.

8. ὡς μή. cf. nostra ad Gymn. 12, 21, ubi corriges numeros sic: 20, 11 et 22, 16.

9. Fortasse cogitat de apophthegmate χαλεπὰ τὰ καλά.

11. vid. Tafel. 371, 15.

12. Hom. Il. α. 44. — ποιητικῶς εἰπεῖν h. e. ut cum Homero loquar. vid. not. ad V. S. 83, 2. ἐμοὶ μὲν γὰρ δοκεῖ καὶ ποιητικῶς ἑκάστῳ διανέμειν.

19. Haec paullo aliter leguntur apud Tafelium 371, 46: καὶ μὴν — τὸ τῆς περιχώρου σκληρὸν καὶ τὸ τῆς πέτρας ἀπότομον ψ. καὶ πυκνοῖς ἀγροῖς καὶ σεμνείοις

ἀπότομον ψυχαγωγοῦσα καὶ πυκναῖς οἰκίαις καὶ νεῶν κάλλεσιν ἡμεροῦσα νάμασιν ἄνωθεν διαρρεομένη λειμῶνι κάτωθεν δορυφορουμένη δυσὶ θαλαττίοις κόλποις ἑκατέρωθεν δεξιουμένη καὶ τάτε παρ' ἑαυτῇ καλὰ οὐ σὺν μακρῷ πόνῳ φιλανθρώπως τοῖς πλωτῆρσι παρεχομένη, καὶ τῶν ἐκ θαλάττης αὖθις ἀφθόνως ἀπολαύουσα χρηστῶν. ἡ δὲ προσεχὴς ἤπειρος, πρός τε γεωργίαν εὔχρηστος, τοὺς τῶν καρπῶν ἡμερωτάτους καὶ πρώτους ὡς οὐδαμοῦ τῶν ἁπάντων ἀρίστους προβαλλομένη. εὔβοτος, εὔμηλος, οἰνοπληθής, πολύπυρος ἦσεν ἂν Ὅμηρος. πρός τε θήρας ψυχαγωγίαν ἡ ἐκτὸς ἰσθμοῦ μάλιστα. πεδιάσι τε συχναῖς ὑπτιάζουσα, καὶ ὀρῶν κορυφαῖς ὀγκουμένη καὶ τῇ ἱλαρᾷ ὑπαλλαγῇ τὴν ὄψιν λαμπρῶς ἑστιῶσα. ὃ δὲ αὐτῆς ἐγὼ ἐν μέσῃ πέτρᾳ τεθαύμακα μάλιστα, ὡς ἄττει μὲν ὑψοῦ κάτωθεν ἀλλαχοῦ πῦρ, ἄττει δὲ ἐνθάδε ὕδωρ. καὶ πέτραις μὲν ἐνίαις ἐμφωλεύει πῦρ. ἐνταῦθα δὲ διειδὲς καὶ πότιμον ὕδωρ. τὸ πολυχρηστότατον τῶν στοιχείων καὶ ἀναγκαιότατον τῆς φύσεως ὥσπερ φιλοτιμηθείσης καί τι τῶν ἀμηχάνων ἐνθάδε δημιουργῆσαι καὶ μηδαμόσε τῆς πόλεως μηδὲν

καὶ νεῶν κάλλεσιν ἡ. πηγῶν νάμασι τερπνοῖς δ. ποταμοῖς ἀεννάοις ἀρδευομένη, λειμῶσι παντοίοις δορυφορουμένη κ. τ. λ.

7. Tafel. ἀπόνως.

10. cf. Hom. Od. o. 405. Apud Tafel. 371, 65. sic mutata ista: ὡς μὲν οἰνοπληθὴς ἡ γῆ, ὡς δὲ πρὸς τῇ (scr. τῷ) βωτιανείρῳ καὶ εὐμήλῳ καὶ πίονι καὶ ἐριβώλακι καὶ βοτρυόδωρος.

15. cf. Tafel. 372, 28.

τῶν καλῶν ἀπολείπεσθαι. ὅθεν ἐν μέσῃ πέτρᾳ καὶ ἄμπελος ἡβᾷ καὶ φυτὸν βρύει καὶ πόα θάλλει καὶ ὄψις τρυφᾷ, ταῖς ἁπανταχόθεν ἡπλωμέναις διαπρεπῶς χάρισι. καὶ καλῶς ἄρα τῷ μεγίστῳ καὶ κορυφαίῳ τῶν ἀποστόλων ἡ καλλίστη καὶ κορυφαία τῶν πόλεων ἀνατέθειται, ἡ περιώνυμος Κόρινθος. Παύλου τῷ ὄντι ταύτην ἔδει κληρονομίαν ἐξαίρετον πεφηνέναι. ὅπερ γὰρ αὐτὸς ἐν τοῖς Χριστοῦ μαθηταῖς, τοῦτο ἴσως ἥδε ἐν πόλεσιν. εἰ δὲ δεῖ τι καὶ ἀπὸ τοῦ ὀνόματος προσπεριεργάσασθαι, κόρη τις ἐν ὀφθαλμῷ καὶ ἄνθος ἐν βίῳ, ἥδε ἡ πόλις. κορυφὴ μὲν γὰρ τῆς καθ' ἡμᾶς οἰκουμένης ἡ Ἑλλάς, ὀφθαλμὸς δὲ ἡ τοῦ Πέλοπος, κόρη δὲ ἡ καλὴ Κόρινθος ἐν αὐτῇ, καὶ φύλλα μὲν ὡς ἐν φυτῷ τῷ κόσμῳ ἄλλαι πόλεις καὶ κῶμαι. ἄνθος δὲ εἶτ' οὖν ἀνθῶν ἐξαίρετον ἡ τερπνὴ Κόρινθος. ταῦτα ἐκ πολλῶν ὀλίγα, τῇ παναρίστῃ Κορινθίων πόλει. ἐμοὶ μὲν ἥδυσμα, τῷ δὲ θαυμαστῷ δεσπότῃ καὶ πολιούχῳ φιλοτίμημα. τῇ πόλει δὲ αὐτῇ, δῶρον ξένιον.

1. Similia Tafel. 372, 36 et 60.

5. cf. Tafel. 371, 74.

10. Ludens idem in Trapezuntis nomine 373, 22: εἰ δὲ δεῖ τι καὶ ἀπὸ τοῦ ὀνόματος προπεριεργάζεσθαι (legendum, ut jam Boiss. Anecd. Gr. V, 395. intellexit, προσπ.) ὡς τράπεζα κ. τ. λ.

17. Iterum compara Tafel. 373, 29.

II. Μάρκου Εὐγενικοῦ ἐπιστολαί.

1.

Ἆρα κακὸς ἐφάνην ποτὲ περὶ σὲ καὶ τὸν τῆς φιλίας θεσμὸν οὐκ ὀρθῶς ἐτήρουν καὶ διὰ τοῦτο ἐξ ὅτου περ ἀπῇρας, ἀμειβόμενός με τοῖς ἴσοις οὐκ ἠξίωσας ἐπιστεῖλαί μοι; ἢ τοῦτο μὲν οὐκ ἔστιν, ἔστι δὲ τὸ παντάπασιν ἐκβαλεῖν με τῆς σῆς διανοίας καὶ τοῖς ἀνθρώποις ἐθέλειν δεικνύειν, ὡς οὐ πώποτε συνεγένου μοι; ἢ τούτων μὲν οὐδέτερόν ἐστιν, ἔστι δὲ τὸ μηδαμῶς ἄξιον οἰηθῆναί με σῶν εὐμοιρῆσαι γραμμάτων; λῦσον δὴ ταυτηνὶ τὴν ἀπορίαν, ὦ γενναῖε, δι' ἐπιστολῶν. καὶ μή με νομίζειν ἐάσῃς, ὡς καταφρονοῦμαι μὲν αὐτὸς ὑπὸ σοῦ, καταφρονεῖται δ' ἡ παλαιὰ φιλία. καίτοι τί λέγω τοῦτο; ὅπου γε δεῖγμα σαφὲς ἐξήνεγκας. τὸ γὰρ ἐπιστεῖλαι τῷ σῷ πατρὶ, ἐμοὶ δ' οὔ, εἶτα κἂν τοῖς πρὸς ἐκεῖνον γράμμασιν ἐμὲ προσγράψαι προσαγορεῦσαι, καὶ μήτε συνουσίας μνησθῆναι τοῖς ἐν μουσείοις, μήθ' ὡς μαθημάτων ἡψάμεθα τῶν αὐτῶν, μήτε τῶν πολλῶν ὑποσχέσεων, ὧν ὑπέσχου μοι ἀπαίρειν μέλλων, ὡς κἀμοῦ γράμματα δεξομένου, πῶς οὐ σαφῶς καταφρονοῦντος; ἀλλὰ ταῦτα μέν μοι μαντεύεσθαι δίδωσιν ἡ σὴ σιωπή. ἐγὼ δὲ οὔτε ῥᾳδίως πείθειν ἐμαυτὸν ἀξιῶ, εἰδὼς ἀκριβῶς σε καλὸν κἀγαθὸν ὄντα, καὶ μηδέποτε λήθην τῶν φίλων λαβόντα, οὔτ' αὖθις μὴ πιστεύειν οἷός τέ εἰμι δι' ἥνπερ ἔφθην εἰπὼν αἰτίαν. νομίζω τοίνυν καὶ σοὶ μεταμέλειν μὴ τοῦτο πεπραχότι. ἀκρι-

16. **Omissum** *μή* **post** *ἐμέ*.

βῶς γὰρ οἶδα τὴν σὴν φύσιν, ὅταν τι μὴ πράξῃς τῶν τοῖς φίλοις κεχαρισμένων, σαυτῷ μέμφεσθαι. εἰ μὲν οὖν ἐπὶ τῆς αὐτῆς φύσεως εἶ, εὖ οἶδ' ὅτι δράσεις τὸ εἰωθός. εἰ δὲ μὴ, τό γ' ἕτερον. καὶ τὰ μὲν δὴ τῆς ἐμῆς ὑπονοίας, ὅπως τε πρὸς ἡμᾶς ἔχῃς, μέχρι τοσούτου. οὐδὲ γὰρ χρὴ πρὸς ἄνδρα φίλον, καὶ ταῦτα πρὸς σὲ πλείω λέγειν. ἀλλ' ἀρκεῖ καὶ τὸ μικρά τινα τούτων εἰπεῖν, σέ τ' εὐθέως τὸ εἰκὸς ποιῆσαι. δεῖ δέ σε μαθεῖν καὶ τὰς συμφορὰς τῆς ταλαιπώρου πατρίδος. εἰ καὶ μὴ τυγχάνεις ἀγνοῶν ἐν οἵῳ τε κινδύνῳ καθεστήκαμεν οἱ ταύτην οἰκοῦντες, ὅπως ἂν ἡμῖν συνεύξαιο, καὶ ὅπως σὲ μὲν εὐδαίμονα καλοῦμεν καὶ καλῶς εἰδότα, τίσι δεῖ χρῆσθαι, ἡμᾶς δ' ἀτυχεῖς καὶ μεστοὺς ἀνοίας. οὕτω γὰρ νῦν προσήκει καλεῖν αὐτούς. τὸ πάλαι θρυλούμενον ὑπὸ τῶν πολλῶν, ὡς ἥξουσιν οἱ βάρβαροι, καὶ περιστοιχίσουσι τὴν ἡμετέραν πατρίδα καὶ πᾶσαν ἑλέπολιν ἐπιχειρήσουσιν, ὥστε ταύτην ἑλεῖν, νῦν εἰς ἔργον ἥκει, καὶ φόβοι δὲ καὶ κίνδυνοι περιεστήκασεν ἡμᾶς, τῶν μὲν βαρβάρων ἔξω τῶν τειχῶν παρακαθημένων, τῶν πολιτῶν δὲ ἐντὸς κατατρυχομένων, καὶ τοὺς μὲν ἡμετέρους πόνους, κατὰ τὸν προφήτην, ἐσθιόντων τῶν πολεμίων, ἡμῶν δ' αὐτοὺς ὁρώντων τοῦτό ποιοῦντας οὐ δυναμένων κωλῦσαι. καὶ οὐ τοῦτό πω δεινὸν καίπερ ὂν δεινὸν, ἀλλ' ἀφανίζουσι μὲν ἀγροὺς, κατασύρουσι δὲ κώμας, κατασκάπτουσι δὲ πόλεις, ἀπειλοῦσι δ' ἡμᾶς τοιαῦτα, οἷα ὀκνῶ μέντοι εἰπεῖν αὐτὸς πρὸς σὲ, οἶδας δὲ σύ τε

6. scr. ἔχεις.

καὶ πᾶς ὅστις εὖ φρονῶν ἀκριβέστερον ἐμοῦ, καὶ τῶν μὲν ἡμετέρων ἀστυγειτόνων κακῶς πασχόντων, ἡμῶν δ' οὐκ ἐχόντων ἐκείνοις βοηθῆσαι, παντάπασιν ἀπολώλασιν ἤδη, καὶ Μυσῶν λεία γεγένηται τἀκείνων, τοσαῦτα γὰρ καὶ τηλικαῦτα κακὰ πεπόνθασιν οἱ δυστυχεῖς ὑπὸ τῶν βαρβάρων ὥστ' ἐξανδραποδίσαντας αὐτοὺς καὶ δήσαντες τὼ χεῖρε, ἀπήγαγον εἰς τὴν αὐτῶν ἀναγκάζοντες δουλείαν. καὶ τοῦτο μὴ οἴου ὡς αὐτοὶ μὲν πεπόνθασι νῦν, ἡμεῖς δ' οὔποτε πεισόμεθα. ἀλλ' ἴσθι μόλις ἀφίξεται καὶ πρὸς ἡμᾶς τὸ δεινὸν, ὥσπερ καταβολὴ πυρετοῦ. τοσοῦτος γὰρ κίνδυνος ἡμῖν περίεστιν ὥστε δέδοικα, ὀκνῶ δ' ὅμως εἰπεῖν τὸ δύσφημον, ἀπώσαιτο γὰρ θεὸς ταυτησὶ τῆς πόλεως, καὶ εἰ μὴ τῷ καλῶς ἄρχειν εἰδότι τὰς ἡνίας τῆς ἀρχῆς παρέσχετο νῦν, οὗτός τε πάντα λίθον κατὰ τὴν παροιμίαν ἐκίνει, πάντα δ' ἔπραττε πρὸς φυλακὴν ἡμετέραν, καὶ προσέτι γε τὸ τῶν ἀστυγειτόνων ἄστυ, τῶν Λατίνων φημὶ, ταῖς αὐτοῦ συμβουλαῖς μεθ' ἡμῶν γενέσθαι πεποίηκεν, καὶ τὸν βάρβαρον ἐχθρὸν νοστῆσαι παρεσκεύασεν, πάλαι ἂν ἀπολώλαμεν ἡμεῖς τε κἀκεῖνοι. νῦν δὲ, εἴτ' ἐμὰς παριδὼν ἁμαρτίας, εἴτε φιλαρέτων ἀνδρῶν εὐχὰς εὐμενῶς ἀκούων, ἡμῖν τε τοῦτον ὡς θεῖόν τι δώρημα δέδωκε, κἀκείνους πρὸς ὁμόνοιαν ἤγαγε, καὶ μέχρι ταύτης τῆς ἡμέρας ἀσφαλῶς ἔχεται τὰ ἡμέτερα. οὗτος τοίνυν ὁ πάντας μὲν παρενεγκὼν βασιλεὺς ταῖς εὐβουλίαις, πάντα δ' ὑπὲρ σωτηρίας τῆς ἡμε-

17. Videtur dicere Manuelem Palaeologum.
22. Scr. πεποιήκει, παρεσκευάκει et ἀπολώλειμεν.

τέρας ποιῶν πατρίδος, πάντα δ' ὑπὲρ ἡμῶν αὐτῶν, εἰς τὴν τοῦ βαρβάρου γῆν ἐλθὼν καὶ πᾶσαν μὲν κακώσας, μέρη δ' αὐτῆς καὶ τελέως ἐκτρίψας, τέλος μίαν τῶν αὐτοῦ πόλεων λαβὼν, καὶ ταύτῃ μαχεσάμενος παρεστήσατο ταύτης οὖν κρατήσας καὶ φρούριον ποιήσας ἐξ αὐτοῦ καθ' ἑκάστην ὁρμώμενος τὴν ἐκείνου κακῶς ποιεῖ. καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, καὶ οἷα οὐκ ἄν τις ἡμῖν φθονῆσαι. τὰ δὲ σὰ, ποδαπά; ἄρ' ἐοίκασι τούτοις, ἢ μικρὸν ἢ μεῖζον; οὐμενοῦν εἴποι τις ἂν εὖ φρονῶν. πῶς; ὃς σύνει μὲν ἀνδράσιν ἀρέσκειν θεῷ μᾶλλον σπουδάζουσιν ἤπερ ἀνθρώποις, σύνει δὲ συγγράμμασιν ἀνδρῶν φιλαρέτων, οἷς οὐδὲν οἶμαι βέλτιον ψυχὴν κοσμῆσαι, καὶ κρείττω πάντων καταστῆσαι, εἶτ' ἀπηλλαγμένος τουτωνὶ τῶν θορύβων πάντων. διὰ ταῦτα τοίνυν ἴσθι καὶ τὰ τοιαῦτα σε ζηλοῦμεν, καὶ μακάριον ἡγούμεθα, ὥσπερ ἔφθημεν, ἡμᾶς δ' ἀτυχεῖς ἐστερημένους τούτων πάντων. ἀλλὰ δοίη μέν γε θεὸς καὶ ἡμῖν μὴ παντάπασιν ἀμοιρῆσαι τῶν τοιούτων καλῶν. σὺ δ' [ἐπειδὴ] τῆς τε πατρίδος καὶ ἡμῶν τῶν φιλούντων κακῶς πασχόντων ὑπὸ τῶν βαρβάρων καὶ σαυτὸν νομίσας μεθ' ἡμῶν τοῦτο πάσχειν, μήτ' αὐτὸς παυθείης ὑπὲρ ἡμῶν εὔχεσθαι καὶ τοὺς ὄντας ἀγαθοὺς ἄνδρας μετὰ σοῦ μὴ διαλείπῃς πρὸς τοῦτο διεγείρων, ὅπως ἡμῖν καὶ ταύτῃ πληροῖς τὰ εἰκότα.

2.

Καὶ ἀπόντας οὐχ ἧττον ἢ παρόντας ἔγνως εὐφραίνειν. τοῦτο δέ σοι ἐκ τοῦ τῶν γραμμάτων σθένους, ἃ δήπουθεν ὡς ἡμᾶς ἥκοντα πάσης ἐνέ-

πλησαν ἡδονῆς — ἐν γὰρ τῷ νεῷ ταῦτα δεξάμενος ἀνεγίνωσκον· θέατρον δ' ἦν ἀληθῶς — πάντας ἡμῖν ὅσοι καθ' ἑταιρείαν ἐξημμένους αὐτῶν ἔχοντας; ὁ μὲν γὰρ τὸ τοιοῦτον ἧκε πόθεν εἴρετ' ἀγαθόν, ὁ δέ με πάλιν ἀναγινώσκειν ἠξίου, διψῶν δ' ἕτερος ἀπηλλάττετο ἀχθόμενος ὥσπερ τῷ μὴ μακρὰν εἶναι τὴν ἐπιστολήν. καὶ ὅλω τῶν ἁπάντων εὑρεῖν, ὅς μὴ τῶν γραμμάτων ὅλος ἦν. οὕτως ἡμᾶς οἷς ἐπέστειλας εἱστίασας. καὶ μὴ παύσαιο γε φίλη κεφαλή, τοιαῦτ' ἐπιστέλλων, οἷς ἐμέ τε τὰ μείζω χαριζόμενος ἔσῃ, σαυτῷ δ' ἐπαίνους παρὰ πάντων ἐγείρων. ἀλλὰ γὰρ οὐχ ἧττον ῥητορεύειν ἢ φιλεῖν εἰδότα εἶναι τὰ γράμμαθ' ὑπέφαινεν. ἐμέ τε γὰρ τοῖς ἐπαίνοις αἴρων, σαυτὸν δ' ἐλάττω ποιῶν, παραπλήσιον ποιεῖς, ὥσπερ ἂν εἴ τις Νέστορι παραβάλλων Θερσίτην, ἔπειτα δίκαιος ὢν ἐπὶ τῷ Νέστορι τὰς ψήφους ἐκφέρειν, ὁ δὲ τὸν Θερσίτην αἱροῖτο ἀμετροεπῆν ὄντα καὶ τέρας ἅπασιν. ὅπως τοίνυν μὴ δόξῃς ἐλέφαντα ἐκ μυίας ποιεῖν.

4. scr. ἧρετ'.
7. Fortasse: ὅλως οὐκ ἦν pro ὅλω.

INDEX GRAECUS.

De vocabulorum notis cf. p. 115.

ADDENDA ET CORRIGENDA.

P. 19, 24 lege: καιρου.

P. 32, 28. In epistola 19 vulgo legitur ἐξ ἀέρος, sed Bentleius egregia emendatione inde fecit ἐκ σαρκός.

P. 33, 1. dele: exempla.

P. 34, 31. cf. etiam V. A. III, 34, 126: εὐήνιον δὲ κινεῖται καὶ εὐάγωγον.

P. 41, 4. Etiam Huetius (cujus notas marginales E. Millerus amicissime mecum communicavit) Ὀρφεῖς proponit.

P. 52, 10. Addo nunc Horat. Ep. I, 19, 40: grammaticas ambire tribus.

P. 75, 3. lege: νικᾶν. ib. 22: genere et notione.

P. 59, 20. Krause hanc opinionem de scriptione nominis Helix a Meiero accepit, Olympische Spiele 321.

P. 70, 26. lege: Λακωνικὸν τὸ μειράκιον (sic plerique codd.). Lubet hic ἐν παρόδῳ tractare locum Herodoti IX, 33. comparatum cum Paus. III, 11, 6. Illic legitur: ἀσκέων δὲ πεντάεθλον παρὰ ἓν πάλαισμα ἔδραμε νικᾶν Ὀλυμπιάδα. Non accurate vertunt: »nisi unum luctae certamen obstitisset«, plus enim dicit Herodotus: vel in lucta certasse feliciter Tisamenum, donec uno luctamine vinceretur. Idem narrans Pausanias πένταθλον Ὀλυμπίασιν ἀσκήσας ἀπῆλθεν ἡττηθείς. καίτοι τὰ δύο γε ἦν πρῶτος. καὶ γὰρ δρόμῳ τε ἐκράτει καὶ πηδήματι Ἱερώνυμον τὸν Ἄνδριον, καταπα-

λαισθεὶς δὲ ὑπ' αὐτοῦ καὶ ἁμαρτὼν τῆς νίκης συνίησι τοῦ χρησμοῦ κτέ., satis videtur probare, veram esse G. Hermanni sententiam de ordine certaminum, quam exposuit in Dissertatione de Sogenis Aeginetae victoria quinquertii. Jaculo enim supra terminum projecto antagonistas ab ineunda lucta, quippe ultimo certamine, deterritos unquam esse, nemo veterum tradit, minimeque Pindarus Nem. VII, 72. eam explicationem admittit. Ibi, ni fallor, lingua praepes, h. e. in episodio nimis longe progressa comparatur jaculo propterea supra terminum projecto, quia cui athletae victoria in luctâ cita contigerat, is integris viribus jaculum ulterius, quam debebat, emittere poterat. Accipio igitur τέρμα προβάς ut scholiasta et Hesychius; neque assentior aut Dissenio aut Hermanno in explicando v. ἐξέπεμψεν. Id enim, si Hermannum audis, de exceptione ejus intelligendum est, qui non certat cum athletis, sed praeit tantum singula certaminum genera: at tum pro παλαισμάτων alia vox generaliore notione erat eligenda poetae, omittenda vero verba: αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν ut plane supervacanea; Dissenii sententia eo ipso cadit, quod omissio unius ex quinquertio certaminis nullo testimonio confirmatur *). Videtur potius illo verbo significari ordo duorum certaminum, luctae et jaculationis, vertique debere locus sic: juro, me non super terminum progressum praepetem linguam tamquam jaculum aereum emisisse, quod deduxit ex lucta cervicem et robur non fatigatum, antequam membra in ardentem solem inciderint.

P. 73, 1. lege: ἀκροχειριζομένους. ib. 26: ἀπιστεῖσθαι.

*) Scholiastae enim ex Pindari verbis male intellectis conclusere id, quod a Dissenio ac Boeckhio pro vero arreptum est.

P. 74, 20. Oblitus eram haec scribens V. A. VIII, 324. τὰ δὲ ἐν αὐτῇ· κεκόσμητο μὲν τὸ δικαστήριον ὥσπερ ἐπὶ ξυνουσίᾳ πανηγυρικοῦ λόγου, ubi in margine Par. 1801. ad αὐτῇ legitur: λείπει· ταῦτα. Quam lectionem ibid. in Imaginum loco restituimus, ea etiam ex Jacobaeo et Vat. 87. aliisque confirmatur.

P. 83, 10. Nunc ita statuo, melius esse Ὀλύμπια quam Ὀλυμπίᾳ, cf. V. A. V, 35, 218, etsi hoc tueri liceat ex V. S. 100, 31 (683).

P. 84, 2. Adde Neronem 9: ἠγρίαινέ τε καὶ μανικῶς εἶχε.

P. 92, 14. Vide V. A. V, 17, 202. ἀεὶ γὰρ τοὺς λόγους ἀνέπαυεν ἐς τὰ χρηστὰ τῶν παραγγελμάτων, et Lucian. Ver. Hist. 1, 1. ὥσπερ τοῖς ἀθλητικοῖς καὶ περὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν ἀσχολουμένοις (sic legendum ex optimis libris) οὐ τῆς εὐεξίας μόνον οὐδὲ τῶν γυμνασίων φροντίς ἐστιν, ἀλλὰ καὶ τῆς κατὰ καιρὸν γιγνομένης ἀνέσεως, μέρος γοῦν τῆς ἀσκήσεως μέγιστον αὐτὴν ὑπολαμβάνουσιν, οὕτω δὴ καὶ τοῖς περὶ τοὺς λόγους ἐσπουδακόσιν etc.

P. 94, 15. Omisi capitalem locum: Herodot. III, 49. εἰ τοῖσι Κορινθίοισι φίλα ἦν πρὸς τοὺς Κερκυραίους.

P. 95, 1. γενναίῳ σώματι. V. A. IV, 25, 164. ἐῴκει — ἀθλητῇ, καλῷ καὶ ἐλευθερίῳ τὸ εἶδος.

P. 97, 22. De pugilum coryco vide etiam Trebell. Poll. vit. Gallieni c. 8. et Plaut. Rud. III, 4, 16.

P. 129, 13. talibus compositis — h. e. cum πρό.

P. 144, 13. εὖ μάλα πρεσβῦται. cf. Boiss. ad Aristaenet. p. 245. Idem πλάτανος ἀμφιλαφὴς (167) illustravit ad Arist. p. 265.

INDEX AUCTORUM.